## ἐπιωνικὸν ἀπ᾽ ἐλάσσονος τρίμετρον βραχυκατάληκτον

**1.** × – ⏑ – ⏑ ⏑ – × × –

Τzetz. *de metr. Pind.* 93. 11 sqq.

τὸ ἕβδομον ἐπιωνικὸν βραχυκατάληκτόν τε,
ὡς τρίμετρον καθίστασθαι· ἔστι δ᾽ ἐν τούτῳ ταῦτα.
ἰαμβικὴ συζυγία καὶ τρίτος παίων ἔστιν,
ἀντὶ τοῦ ἀπ᾽ ἐλάσσονος ἰωνικοῦ δ᾽ ὁ παίων·
καὶ γὰρ δεύτερος τρέπεται ὁ ποὺς εἰς τὸν τροχαῖον,
καὶ ἐφεξῆς ὑπάρχουσιν ἀμφότεραι βραχεῖαι·
πολλάκις ἡ ἐσχάτη δε ἀδιάφορος κεῖται.

| ἰαμβική | ἰωνικὸν παίων γʹ | ἰωνικὸν ἥμισυ |
|---|---|---|
| – – ⏑ – | ⏑ ⏑ – ⏑ | ⏑ ⏒ |

Schol. vet. in Pind. *Ol.* 4 (p. 4. 13 Tessier) τὸ ιʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) τρίμετρον βραχυκατάληκτον.

Schol. vet. in Pind. *Ol.* 9 (p. 8. 22 sq. Tessier) τὸ ζʹ τρίμετρον (*Tzetzes*: δί- *codd.*) ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) βραχυκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 311. 23 sqq. Abel) τὸ ζʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) τρίμετρον βραχυκατάληκτον (*cf. schol. vet. supra*)· ἐμοὶ δὲ τοῦτο ἀσυνάρτητον δοκεῖ, ἐξ ἰαμβικῆς συζυγίας.

Schol. vet. in Pind. *Ol.* 10 (p. 20. 26 sq. Tessier) τὸ εʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) τρίμετρον βραχυκατάληκτον.

Schol. rec. in Pind. *Pyth.* 8 (p. 173. 26 sqq. Irigoin) τὸ πρῶτον ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἰωνικοῦ ἀπ᾽ ἐλάττονος ἢ παιῶνος καὶ δύο συλλαβῶν.

**2.** ⏑ ⏑ – – ⏑ – – ⏖ ⏑ ×

Schol. vet. in Pind. *Ol.* 13 (p. 12. 7 sqq. Tessier) τὸ θʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος τρίμετρον βραχυκατάληκτον) ἄτακτον· ὁ γὰρ βʹ σπονδεῖός ἐστιν· εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ· (Eupol. 316. 1 [PCG V, p. 481] Kassel-Austin)

ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Schol. rec. in Pind. *Ol.* 13 (p. 385. 2 sqq. Abel) τὸ θʹ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἔστι δέ, ὥς φασιν (*scil. apud schol. vet., quod vide supra*), ἀταξία ἐν αὐτῷ· ἡ γὰρ βʹ συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ βʹ χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ. ὡς καὶ τὸ παρ᾽ Εὐπόλιδι ἐν τῷ Χρυσῷ γένει· (Eupol. 316. 1 [PCG V, p. 481] Kassel-Austin)

ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

**3.** – – ⏑ – – ⏑ – – ⏑ –

Τzetz. *de metr. Pind.* 61. 14 sqq.

δέκατον ἐπιωνικὸν βραχυκατάληκτόν τε,
ὡς τρίμετρον πληροῦσθαι σοι· πλὴν ἐξ ἰαμβικῆς δε.

ἀνοίκειος ἰαμβικὴ ἰωνικοῖς δ᾽ ὑπάρχει,
ὅθεν καὶ ἐπιωνικόν, ἀλλ᾽ ἐκ τῶν ἐλαττόνων.
ἔχει δε καὶ τὴν ἔναρξιν ἀπὸ τροχαίου τοῦτο,
ὄντος αὐτοῦ ἰωνικοῖς οἰκείου τοῦ τροχαίου.
ἰαμβικὴ συζυγία ἰωνικὰ ἀπ᾽ ἐλάσσονος
– – – ⏑ ⏑ (*codd.* AP: – – ⏑ – M²) – ⏑ – – ⏑ ⏑

Schol. rec. in Pind. *Ol.* 4 (p. 171. 18 sqq. Abel) τὸ ι′ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· τῆς γὰρ α′ συζυγίας οὔσης ἰαμβικῆς ἡ β′ ἐστὶ τροχαική. διὰ τοῦτο ἐπιωνικὸν ὀνομάζεται (*scil. apud schol. vet. ad locum, quod vide supra sub 1.*: *de v. 6 agitur* ἀλλὰ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις, *ubi secundum metrum responsione v. 15 neglecta trochaicum esse potest*).

**4.** – – – ⏑ ⏑ – ⏑ – – – ⏑ ⏑

Tzetz. *de metr. Pind.* 61. 14 sqq.
δέκατον ἐπιωνικὸν βραχυκατάληκτόν τε,
ὡς τρίμετρον πληροῦσθαι σοι· πλὴν ἐξ ἰαμβικῆς δε.
ἀνοίκειος ἰαμβικὴ ἰωνικοῖς δ᾽ ὑπάρχει,
ὅθεν καὶ ἐπιωνικόν, ἀλλ᾽ ἐκ τῶν ἐλαττόνων.
ἔχει δε καὶ τὴν ἔναρξιν ἀπὸ τροχαίου τοῦτο,
ὄντος αὐτοῦ ἰωνικοῖς οἰκείου τοῦ τροχαίου.
ἰαμβικὴ συζυγία ἰωνικὰ ἀπ᾽ ἐλάσσονος
– – – ⏑ ⏑ (*codd.* AP: – – ⏑ – M². *Vd. sub 3*) – ⏑ – – ⏑ ⏑

[*P.S.*]